Α′ 1 Δόξαν, ὦ χρυϲαλάκατοι Χάριτεϲ,
πειϲίμβροτον δοίητ᾽, ἐπεί
3 Μουϲᾶν γε ἰοβ|λεφάρων θεῖοϲ προφάταϲ
εὔτυκοϲ Φλειοῦντά τε καὶ Νεμεαίου
Ζηνὸϲ εὐθαλὲϲ πέδον
6 ὑμνεῖν, ὅθι μηλοδαΐκταν
θρέψεν ἁ λευκώλενοϲ
8 Ἥρα περι[κ|λει]τῶν ἀέθ|λων
πρῶτον [Ἡ]ρ̣[α]κ|λεῖ βαρύφθογγον λέοντα.
1 κε[ῖθι φοι]νικάϲπιδεϲ ἡμίθεοι
πρ[ώτιϲτ]ο̣ν Ἀργείων κριτοί
3 ἄθληϲαν ἐπ᾽ Ἀρχεμόρωι, τὸν ξανθοδερκήϲ
πέφ|ν᾽ †ἀϲαγεύοντα δράκων ὑπέροπ|λοϲ,
ϲᾶμα μέλλοντοϲ φόνου.
6 ὦ μοῖρα πολυκ|ρατέϲ· οὔ νιν
πεῖθ᾽ Ὀϊκ|λείδαϲ πάλιν
8 ϲτείχειν ἐϲ εὐάνδρουϲ ἀγ̣[υιάϲ.
ἐλπὶϲ ἀνθρώπων ὑφαιρ̣[εῖται νόημ]α·
1 ἃ καὶ τότ᾽ Ἄδ|ραϲτον Ταλ[αϊονίδαν
ol 19 (15) πέμπεν ἐϲ Θήβαϲ Πολυνείκεϊ πλα[‿‿∪‿
3 κείνων ἀπ᾽ εὐδόξων ἀγώνων